**ἀρρυθμία / arhythmia**

Aristox. *rhythm.* II 8 (p. 6. 9 sqq. Pearson) τὸ δὲ ῥυθμιζόμενόν ἐστι μὲν κοινόν πως ἀρρυθμίας τε καὶ ῥυθμοῦ· ἀμφότερα γὰρ πέφυκεν ἐπιδέχεσθαι τὸ ῥυθμιζόμενον τὰ συστήματα, τό τε εὔρυθμον καὶ τὸ ἄρρυθμον.

Trich. 394. 1 sqq. εἰ γὰρ ἐν τῇ πρώτῃ χώρᾳ ὁ μολοττὸς ἔκειτο ποὺς ἐκ τριῶν συγκείμενος μακρῶν, ἑξῆς δὲ καὶ τὰ δύο μακρὰ πάλιν τοῦ ἀπὸ μείζονος ἰωνικοῦ ἐπήγοντο, πολλὴν ἂν ἀρρυθμίαν ἡ τῶν πέντε μακρῶν ἐπιφορὰ ἐνεποίει.

Schol. A in Hephaest. 145. 11 sqq. εἰκότως ἐπὶ τῶν ἀρτίων οἱ μολοττοί· τοῦ γὰρ μολοττοῦ τιθεμένου κατ᾽ ἀρχὰς καὶ τοῦ ἰωνικοῦ μετ᾽ αὐτὸν εὑρίσκοντο πέντε μακραὶ ἐφεξῆς καὶ ἀρρυθμία πολλὴ ἐγένετο.

Schol. A in Hephaest. 149. 17 sqq. εὑρισκομένων γὰρ δύο μακρῶν ἐφεξῆς καὶ μιᾶς βραχείας πάλιν ἀρρυθμία πολλὴ γίνεται· ἐν τετραπλασίονι γὰρ λόγῳ εὑρίσκεται. ἐπὶ μέντοι γε τοῦ ἀμφιμάκρου ἡμιόλιος ὁ λόγος γίνεται.

Apthon. GL VI 43. 3 sqq. Aristoxenus autem ait non omni modo inter se composita tempora rhythmum facere. nam coitus temporum communis est rhythmo et arhythmiae. unde si apte congruant spatia rhythmum faciunt, si contra arhythmiam, ut intellegamus et in ipsa concursione temporum non fortuitam, sed certam esse disciplinam. [*R.S.*]